ʽοὐδεὶς γὰρ ἀγαπῶν αὑτὸς ἀμελεῖθ᾽ ἡδέως᾽ (Menandr. fr. 757). καίτοι τὰς ἀμελείας καὶ ῥαθυμίας τῶν φίλων πρᾳότερον φέρουσι, καὶ τὰς τοιαύτας ἀπολογίας ἀμηνίτως δέχονται παρ᾽ αὐτῶν ʽἐξελαθόμην᾽ ʽἠγνόησα᾽· ὁ δὲ λέγων ʽοὐ παρέστην σοι δίκην ἔχοντι, παριστάμην γὰρ ἑτέρῳ φίλῳ᾽, καὶ ʽπυρέττοντά σε οὐκ εἶδον, τῷ δεῖνι γὰρ φίλους ἑστιῶντι συνησχολούμην᾽ αἰτίαν τῆς ἀμελείας τὴν ἑτέρων ἐπιμέλειαν ποιούμενος οὐ λύει τὴν μέμψιν, ἀλλὰ προσεπιβάλλει ζηλοτυπίαν. ἀλλ᾽ οἱ πολλοὶ τῆς πολυφιλίας ἃ δύναται παρέχειν μόνον ὡς ἔοικε σκοποῦσιν,
E ἃ δὲ †ἐμποιεῖν παρορῶσι, καὶ οὐ μνημονεύουσιν ὅτι ἀνάγκη πολλοῖς εἰς ἃ δεῖται χρώμενον πολλοῖς δεομένοις ἀνθυπουργεῖν. ὥσπερ οὖν ὁ Βριάρεως ἑκατὸν χερσὶν εἰς πεντήκοντα φορῶν γαστέρας οὐδὲν ἡμῶν πλέον εἶχε τῶν ἀπὸ δυεῖν χεροῖν μίαν κοιλίαν διοικούντων, οὕτως ἐν τῷ φίλοις πολλοῖς χρῆσθαι καὶ τὸ λειτουργεῖν πολλοῖς ἔνεστι καὶ τὸ συναγωνιᾶν καὶ τὸ συνασχολεῖσθαι καὶ συγκάμνειν. οὐ γὰρ Εὐριπίδῃ πειστέον λέγοντι (Hipp. 253)

ʽχρῆν γὰρ μετρίαν εἰς ἀλλήλους
φιλίαν θνητοὺς ἐντείνασθαι
καὶ μὴ πρὸς ἄκρον μυελὸν ψυχῆς,